κοσιοστοῦ ἑξηκοστοῦ ἑβδόμου ἔτους τῆς Ἰουλιανῆς περιόδου, τοῦ δὲ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἑπτακοσιοστοῦ τεσσαρακοστοῦ ἑβδόμου ἔχοντος ἡλίου 747. μὲν κύκλους ιθ΄. σελήνης δὲ ιε΄. Ἰνδικτιόνα δὲ ζ΄.

## Πρόβλημα. κ΄.

### Τοῦ ἀπὸ Ναβονασάρου δοθέντος ἔτους, εὑρεῖν τὸ ἔτος τῆς Ἰουλιανῆς περιόδου, οὗ διεξοδευομένου ἐκεῖνο ἤρξατο, ἔτι δὲ καὶ τὴν ἡμέραν ἐξ ἧς ἤρξατο.

Εἰ μὲν τὸ δοθὲν ἔτος οὐχ ὑπερέχει τοῦ 227 ἀριθμοῦ, προστιθέναι τούτῳ δέον τὸν 3966, εἰδὲ ὑπερέχει, ἀπὸ μὲν τοῦ διακοσιοστοῦ εἰκοστοῦ ὀγδόου ἔτους ἄχρι τοῦ χιλιοστοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ ὀγδόου προσθήσεις τὸν 3965, ἀπὸ δὲ τούτου ἄχρι τοῦ τρισχιλιοστοῦ ἑκατοστοῦ τεσσαρακοστοῦ ἐννάτου τὸν 3964, καὶ οἱ συμποσούμενοι ἀριθμοὶ τῶν τῆς Ἰουλιανῆς περιόδου ἐτῶν ἔσονται δηλωτικοί· οἷον εἰπεῖν τὸ μὲν ἀπὸ Ναβονασάρου ἑκα„τοστὸν εἰκοστὸν ἕβδομον, ἐν ᾧ φησὶν ὁ Πτολεμαῖος „ἔκλειψιν γενέσθαι τῆς σελήνης, ἤτοι τῷ ε΄. ἔτει Να„πολλασάρου, ἐπὶ ρκζ΄. ἔτος ἀπὸ Ναβονασάρου, „κατ' Αἰγυπτίους ἀθὺρ κζ΄. εἰς τὴν κη΄. ὥρας ια΄. „ληγούσης· τοῦτο δὴ τὸ ἔτος ἤρξατο τῷ τετρακισχιλιοστῷ ἐννενηκοστῷ τρίτῳ τῆς Ἰουλιανῆς περιόδου· τὸ δὲ τριακοσιοστὸν πεντηκοστὸν πέμπτον τῷ τετρακισχιλιοστῷ τριακοσιοστῷ εἰκοστῷ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Ἐπείπερ τὰ ἀπὸ Ναβονασάρου ἔτη εἰσὶν Αἰγύπτια, ἐν οἷς ἡ προσθήκη τῶν ἓξ ὡρῶν οὐ γίνεται, συμβαίνει ἀναποδίζειν τὴν τούτων ἀρχὴν, ἤτοι τὴν νεομηνίαν τοῦ Θὼθ, ἐναλλάττουσαν τὰς ἡμέρας τοῦ Ἰουλιανοῦ ἔτους, καὶ πρὸ μιᾶς ἡμέρας ἢ πρότερον καθ' ἑκάστην τετραετίαν ἄρχεσθαι· ταῦτ' ἄρα τοῦ πρώτου τῶν ἀπὸ Ναβονασάρου ἐτῶν τὴν κϛ΄. Φευρουαρίου ἀρχὴν εἰληφότος, τὸ τέταρτον ἤρξατο οὐχ ὅτε εἰκοστὴ ἕκτη Φευρουαρίου ἀριθμηθείη ἂν κατὰ Ἰούλιον, ἀλλὰ πρὸ εἴκοσι καὶ τεσσάρων ὡρῶν, εἴτουν ἡμέρας μιᾶς, τὸ ὄγδοον πρὸ δύο, καὶ τῶν λοιπῶν ἕκαστον ἀναλόγως, ἄχρις οὗ τὸ διακοσιοστὸν εἰκοστὸν ἕβδομον ἀπὸ Ναβονασάρου τὴν πρώτην Ἰανουαρίου καταλάβοι· εἰς εὕρεσιν τοίνυν τοῦ ἔτους τῆς Ἰουλιανῆς περιόδου, ᾧ συμπέσειεν ἂν τὸ δοθὲν ἀπὸ Ναβονασάρου ἔτος μὴ ἐκτὸς ὂν τῶν σκζ΄. προστίθεται δέον τὸν 3966 ἀριθμὸν, τὸν σημαντικὸν τῶν τῆς Ἰουλιανῆς περιόδου ἐτῶν τῶν πρὸ τῆς τοῦ Ναβονασάρου δηλονότι ἐποχῆς.

Αὖθις ἐπεὶ τὸ ἀπὸ Ναβονασάρου διακοσιοστὸν εἰκοστὸν ὄγδοον ἔσχεν ἀρχὴν τὴν τοῦ Δεκεμβρίου ἐσχάτην, τὸ δὲ διακοσιοστὸν τριακοστὸν δεύτερον τὴν τριακοστὴν, τὸ δὲ διακοσιοστὸν τριακοστὸν ἕκτον τὴν εἰκοστὴν ἐνάτην, καὶ ἐφεξῆς ἀναλόγως· ἐν δὲ τῷ χιλιοστῷ τετρακοσιοστῷ ἑξηκοστῷ πρώτῳ, ἐκ τῆς ἐσχάτης τοῦ Δεκεμβρίου λαμβανομένης τῆς ἀρχῆς τῆς

ΙΩΑΝΝΙΝΑ 2006

τούτων ἀπαριθμήσεως, πάσας τὰς τοῦ Ἰουλιανοῦ ἔτους ἡμέρας ἡ τοῦ Θὼθ νεομηνία διαπερῶσαν ἐξ ὑπαρχῆς τὴν ἐσχάτην τοῦ Δεκεμβρίου αὖθις ἀρχὴν ποιεῖται, ϗ μέντοι ἐκ τοῦ 227, ϗ 1461, συνέσαται ὁ 1688, εὔδηλον τοῖς πᾶσιν, ὡς μέχρι τοῦ χιλιοστοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ ὀγδόου ἀπὸ Ναβουνασάρου ἔτους τὸν 3965 ἀριθμὸν προσιθέναι χρεών· ἀπὸ δὲ τούτου ἄχρι τοῦ τρισχιλιοστοῦ ἑκατοστοῦ τεσσαρακοστοῦ ἐννάτου διὰ τὸν αὐτὸν λόγον τὸν 3964· ὁ γὰρ 3149 συνίσαται ἔκτε τοῦ 1688, ϗ 1461· καὶ γὰρ τῶν ἀπὸ Ναβονασάρου ἐτῶν πλεοναζόντων τὰ τῆς Ἰουλιανῆς περιόδου ἐλαττοῦσθαι προσήκει ἔτη.

Ἵνα δὲ καὶ ἡ ἡμέρα καθ' ἣν ἤρξατο κατάδηλος γένηται, διαιρεθήτω τὸ δοθὲν ἔτος ἐπὶ τὸν 4 ἀριθμὸν, τὸ δὲ πηλίκον ἔλαττον μὲν ὂν τοῦ 57 ἀριθμοῦ, ἀφαιρεθήτω ἐξ αὐτοῦ, μεῖζον δὲ ὑπάρχον, ἀφαιρεθήτω ἐκ τοῦ 422, ϗ ὁ ἐναπολειφθεὶς ἀριθμὸς τὴν ἡμέραν δηλώσει σοι, ἐξ ἧς τὸ δοθὲν ἤρξατο ἐκ καλενδῶν Ἰαννουαρίου τῆς ἀπαριθμήσεως γενομένης· οἷον ἐπὶ τοῦ αὐτοῦ ὑποδείγματος τοῦ 127 ἐπὶ τὸν 4 διαιρεθέντος, ϗ τοῦ 31 πηλίκου ἐκ τοῦ 57 ἀφαιρεθέντος, λείπεται ὁ 26 ἀριθμὸς δεικνὺς τὸ ρκζ΄. ἔτος ἄρξασθαι ἐκ τῆς κς΄. τοῦ Ἰαννουαρίου.

Αὖθις τοῦ 355 ἐπὶ τὸν 4 διαιρεθέντος, ϗ τοῦ 88 πηλίκου ἐκ τοῦ 422 ἀφαιρεθέντος. ὁ 334

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐναπολείπεται ἀριθμός· ἐπεὶ δὲ τοσαῦται ἡμέραι ἀριθμοῦνται ἀπὸ τῆς α΄. Ἰαννουαρίου ἄχρι τῆς ἐσχάτης Νοεμβρίου, ἕπεται τὸ τριακοσιοστὸν πεντηκοστὸν πέμπτον ἔτος ἀρχὴν ἐσχηκέναι τὴν ἐσχάτην τοῦ Νοεμβρίου· ὁ λόγος ἐκ τῶν εἰρημένων σαφής· τοῦ γὰρ 127 ἀριθμοῦ ἐπὶ τὸν 4 διαιρεθέντος τὸ πηλίκον παρίστησιν ἡμῖν ποσάκις ὁ 4 μετρεῖ τὸν 127, ταὐτὸ δ' ἐστὶν εἰπεῖν πόσαι τετραετίαι παρῆλθον ἀπὸ τοῦ α΄. τῶν ἀπὸ Ναβονασάρου ἐτῶν, ἐπεὶ εὑρίσκονται 31, καὶ καθ' ἑκάστην τετραετίαν ἡμέραν μίαν παραμείβει ἡ τοῦ Θὼθ νεομηνία, ἐν τοσαύταις ἄρα τετραετίαις παρήμειψεν ἰσαρίθμους ταύταις ἡμέρας ἤτοι 31, ἔσχε δὲ τὸ α΄. ἔτος ἀρχὴν τὴν κϛ΄. τοῦ Φευρουαρίου· προσήκει τοίνυν ἐκ ταύτης μέχρι τῆς α΄. τοῦ Ἰαννουαρίου οὐσῶν ἡμερῶν πεντήκοντα ἑπτὰ ἀφαιρεῖν τὸ πηλίκον, ἵνα ἡ ἡμέρα γνωσθῇ, ἐξ ἧς τὸ δοθὲν ἔτος ἤρξατο· ὡσαύτως ἡνίκα τὸ πηλίκον, ὥσπερ ἀνωτέρω ὁ 88, ὑπερέχει τοῦ 57, προσθετέον ἡμέρας 365, ὅ ἐστιν ἔτος ἓν τῷ 57, καὶ τὸν γινόμενον ἀριθμὸν 422 διαιρετέον ἐπὶ τὸν 4, ὅτι ὑπερηκόντισεν ἡ τοῦ Θὼθ νεομηνία τὴν α΄ τοῦ Ἰαννουαρίου.

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Πρόβλημα. κα΄.

*Τῆς ἡμέρας δοθείσης ὁτινοσοῦν μηνὸς, τοῦ δοθέντος ἀπὸ Ναβονασάρου ἔτους, τὴν συμπίπτουσαν ταύτῃ ἡμέραν τοῦ Ἰουλιανοῦ ἔτους εὑρεῖν.*

Εὑρεθήτω ἡ ἡμέρα τοῦ Ἰουλιανοῦ ἔτους, ἐξ ἧς ἄρχεται τὸ ἀπὸ Ναβονασάρου δοθὲν ἔτος, καὶ προσεθήτωσαν ταῖς ἀπὸ τῆς α΄. Ἰαννουαρίου ἄχρι τῆς εὑρεθείσης ἡμέραις αἱ ἄχρι τῆς δοθείσης παρελθοῦσαι ἡμέραι τοῦ ἀπὸ Ναβονασάρου ἔτους, καὶ ὁ συμποσούμενος ἀριθμὸς, εἴγε ἐλάττων εἴη τοῦ 365, κοινοῦ ὄντος τοῦ ἔτους, ἢ τοῦ 366 βισέξτου λογιζομένου, τῆς ζητουμένης ἡμέρας τοῦ Ἰουλιανοῦ ἔτους ἔσαι δηλωτικὸς ἐκ τῆς α΄. τοῦ Ἰαννουαρίου τῆς ἀπαριθμήσεως γινομένης· εἰδὲ μείζων, ἐξαχθείη τοῦ 365, ἢ τοῦ 366 ἀφαιρεθήτω, ἢ ὁ 365, ἢ ὁ 366 ἐξ αὐτοῦ καὶ γνωσθήσεται ἡ ζητουμένη ἡμέρα· οἷον ζητηθήτω τίνι ἡμέρα τοῦ Ἰουλιανοῦ ἔτους σύνδρομος ἐςὶν ἡ ἑβδόμη τοῦ τυβὶ μηνὸς τοῦ τριακοσιοσοῦ πεντηκοσοῦ πέμπτου ἀπὸ Ναβονασάρου ἔτους· καὶ ἐπεὶ εὕρηται ἀρχὴ τούτου τοῦ ἔτους ἡ ἐσχάτη τοῦ Νοεμβρίου μηνὸς, προσκείσθωσαν ταῖς τριακοσίαις τριάκοντα τρισὶν ἡμέραις αἱ ἑκατὸν εἴκοσιν ἑπτὰ, ἐκ δὲ τοῦ ἐξ αὐτῶν ἤτοι τοῦ 460, ἀφαιρεθήτω ὁ 365, καὶ ἐπεὶ ἐναπολείπεται ὁ 95, καὶ τοσαῦται ἡμέραι εὑρίσκονται ἀπὸ τῆς α΄. τοῦ Ἰαννουαρίου ἄχρι τῆς ε΄. τοῦ Ἀπριλλίου, συνάγεται σύνδρομον εἶναι ταύτῃ τὴν ζ΄. τοῦ τυβί· ἐν δὲ τοῖς βισέξτοις προστίθεται ἐν τῇ ἀπαριθμήσει τῶν

ἡμερῶν προστέτι ἡμέρα μία, εἴγε μετὰ τὸν Φευρουάριον τύχῃ οὖσα ἡ ζητουμένη ἡμέρα.

Εἰς εὐχερεστέραν μέντοι λύσιν τοῦ προβλήματος ἐκκείσθωσαν οἱ μῆνες κατά τε Ῥωμαίους, καὶ Αἰγυπτίους, καὶ αἱ κατ' αὐτοὺς συναγόμεναι ἡμέραι.

| Μῆνες Ῥωμαίων. | | | Μῆνες Αἰγυπτίων. | | |
|---|---|---|---|---|---|
| Ἰαννουάριος. | 31 | | | | |
| Φευρουάριος. | 29 | 59. | Θὼθ | 30 | |
| Μάρτιος. | 31 | 90. | Παωφὶ | 30 | 60. |
| Ἀπρίλλιος. | 30 | 120. | Ἀθὺρ | 30 | 90. |
| Μάιος. | 31 | 151. | Χοϊὰκ | 30 | 120. |
| Ἰούνιος. | 30 | 181. | Τυβὶ | 30 | 150. |
| Ἰούλιος. | 31 | 212. | Μεχὴρ | 30 | 180. |
| Αὔγουστος. | 31 | 243. | Φαμενὼθ | 30 | 210. |
| Σεπτέμβρ. | 30 | 273. | Φαρμουθὶ | 30 | 240. |
| Ὀκτώβριος. | 31 | 304. | Παχὼν | 30 | 270. |
| Νοέμβριος. | 30 | 334. | Παυνὶ | 30 | 300. |
| Δεκέμβριος. | 31 | 365. | Ἐπιφὶ | 30 | 330. |
| | | | Μεσορὶ | 30 | 360. |
| | | | Ἐπαγόμεναι | 5 | 365. |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

# Πρόβλημα, κβ'.

Τοῦ ἀπὸ Ναβονασάρου ἔτους δοθέντος, τὸ πρὸ τῆς Σωτηρίου, ἢ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτος εὑρεῖν, ᾧπερ συμπίπτει τὸ δοθέν.

Εἰ μὲν τὸ δοθὲν ἔτος οὐχ ὑπερέχει τοῦ 747, ἀφαιρεθέντος α'. ἐξ αὐτοῦ τοῦ 2, ὁ ἐναπολειφθεὶς ἀριθμὸς ἀφαιρεθήτω ἐκ τοῦ 747, καὶ ὁ λειπόμενος ἀριθμὸς τῶν πρὸ τῆς Σωτηρίου ἐποχῆς ἐτῶν ἔσται δηλωτικός· οἷον δοθέντος τοῦ ἀπὸ Ναβονασάρου πεντακοσιοστοῦ πεντηκοστοῦ τετάρτου ἀφῄρηται α'. ἐκ τοῦ 554 ὁ 2 ἀριθμὸς, καὶ ὁ λειπόμενος 552, ὁμοίως ἀφῄρηται ἐκ τοῦ 747, ἐναπολειφθεὶς δὲ ὁ 195, παρέστησεν τὸ ἀπὸ Ναβονασάρου δοθὲν ἔτος συμπίπτειν τῷ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἑκατοστῷ ἐννενηκοστῷ πέμπτῳ· ἡ πρᾶξις τὸ πιστὸν ἔχει ἐκ τῶν ἀνωτέρω εἰρημένων· καὶ γὰρ εἰ τὰ ἀπὸ Ναβονασάρου ἔτη σύνδρομα ὑπῆρχον τοῖς Ἰουλιανοῖς, ἐξήρκει μονάδος μόνης ἀφαιρέσει τοῦ ζητουμένου τυχεῖν, ὡς ἐπὶ τοῦ προκειμένου ὑποδείγματος ἀφελεῖν ἐκ τοῦ 554 μονάδα, ἄλλως γὰρ οὐ τὸ συμπίπτον τῷ δοθέντι ἔτει εὑρεθήσεται, ἀλλὰ τὸ τούτῳ ἐφεξῆς· ἐπεὶ δὲ τὸ ἀπὸ Ναβονασάρου πεντακοσιοστὸν πεντηκοστὸν τέταρτον οὐκ ἔστι σύνδρομον τῷ πεντακοσιοστῷ πεντηκοστῷ τετάρτῳ τῆς Ἰουλιανῆς περιόδου, ἀλλὰ τῷ πεντακοσιοστῷ πεντηκοστῷ τρίτῳ, ὑπερέβη γὰρ τὴν λ'. Ἰανουαρίου τὸ φνδ'. ἔτος ὑπερέχον τοῦ σκϛ'. ἐὰν ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.ΔΑΠΗΣ τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

θέλῃ τις τὸν 553, ὐχ εὑρήσει τὸ συμπῖπτον τῷ δοθέντι ἔτει, ἀλλὰ τὸ ἐφεξῆς τύτῳ, διάτοι τῦτο ἀφαιρεῖται ἐκ τῦ 554 ὁ 2.

Εἰ δὲ τὸ ἀπὸ Ναβονασάρυ ἔτος μεῖζον μὲν εἴη τῦ 747, ἔλαττον δὲ τῦ 1688, ἀφαιρεθήτω ἐξ αὐτῦ μονάς· εἰδ᾽ αὖθις μεῖζον τῦ 1688, μὴ μέντοι μεῖζον τῦ 3149, ἀφαιρεθήτω δυάς, καὶ οἱ λειπόμενοι ἀριθμοὶ τῶν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἐτῶν ἔσονται δηλωτικοί· τῦτον τὸν τρόπον εὑρίσκεται τὸ ἀπὸ Ναβονασάρυ ὀκτακοσιοςὸν πεντηκοςὸν ἔννατον συμπῖπτον τῷ ἑκατοςῷ δεκάτῳ πρώτῳ ἀπὸ τῆς Σωτηρίυ ἐποχῆς.

## Περὶ τῶν ἀπὸ Φιλίππου τῦ Ἀῤῥιδαίου ἐτῶν.

Τὸ πρῶτον τῶν ἀπὸ Φιλίππυ ἐτῶν σύνδρομον ἐςὶ τῷ τετρακισχιλιοςῷ τριακοσιοςῷ ἐννενηκοςῷ τῆς Ἰουλιανῆς περιόδου, καὶ τῷ ἀπὸ Ναβονασάρου τετρακοσιοςῷ εἰκοςῷ πέμπτῳ· ἐσχηκὸς τὴν ἀρχὴν ἐκ τῆς ιβ΄. τῦ Νοεμβρίου μηνός· ἐν ᾧ ἡλίου μὲν κύκλοι κβ΄. σελήνης δὲ α΄. ἰνδικτιὼν α΄. εἰσὶ δὲ τὰ ἔτη ταῦτα παραπλήσια τοῖς Αἰγυπτίοις ἐκ τριακοσίων καὶ ἑξήκοντα πέντε ἡμερῶν συνιςάμενα, ταῦτ᾽ ἄρα ὐδὲ περιττολογεῖν προσήκει περὶ ἀναγωγῆς τύτων εἰς τὰ τῆς Ἰουλιανῆς περιόδου· ἀναχθήσονται γὰρ κατὰ τὰ ἀπὸ Ναβονασάρου· ἢ ἐπεὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΗΣ
Ε. Ι. Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ α΄. τῶν ἀπὸ Φιλίππου σύνδρομον ἐστὶ τῷ υκε΄. ἀπὸ Ναβονασάρου, ἔξεστι τῷ δοθέντι ἀπὸ Φιλίππȣ προστιθέναι τὸν 424, ϗ εὑρίσκειν τὸ ἀπὸ Ναβονασάρου ἔτος τὸ συμπίπτον ϗ συναρχόμενον τῷ δοθέντι ἔτει· ȣ̓ τινὸς κατὰ τὰ προειρημένα εἰς τὰ τῆς Ἰουλιανῆς περιόδου ἀγομένου, γενήσεται δῆλον, τίνι ἔτει τῆς περιόδου ταύτης συντρέχει τὸ δοθέν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ τῶν ἀπὸ Ἀλεξάνδρȣ τȣ̃ μεγάλου ἐτῶν.

Τὰ ἀπὸ Ἀλεξάνδρȣ ἔτη Σελευκιδῶν ἔτη κοινότερον λέγονται, ἐκ Σελεύκȣ τȣ̃ τῶν Βαβυλωνίων βασιλέως τὴν ἐπωνυμίαν λαχόντα, ἀφ᾽ ȣ̓ ϗ ἡ ἀρχὴ τῆς τȣ́των ἀπαριθμήσεως λαμβάνεται, δώδεκα ὅλοις ἔτεσιν ὑστερίζοντα τῆς τȣ̃ Ἀλεξάνδρȣ τελευτῆς· ἐκ γὰρ ταύτης ἄρχονται τὰ ἀπὸ Φιλίππȣ τȣ̃ Ἀῤῥιδαίȣ τȣ̃ ἀδελφȣ̃ αὐτȣ̃, ὃν οἱ Μακεδόνες μετὰ τὴν τοῦ Ἀλεξάνδρου ἀποβίωσιν βασιλέα προείλοντο· ϗ γὰρ ὁ Ἀλέξανδρος τεθνηκέναι λέγεται τῷ τετρακισχιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ ἔτει τῆς Ἰȣλιανῆς περιόδȣ, τὰ δὲ τῶν σελευκιδῶν ἔτη ἄρχονται ἐκ τȣ̃ τετρακισχιλιοστȣ̃ τετρακοστȣ̃ δευτέρȣ ἐκ Καλενδῶν Ὀκτωβρίȣ, ἐν ᾧ ἡλίου μὲν κύκλοι ϛ΄. σελήνης δὲ ιγ΄. ἰνδικτιῶν δὲ ζ΄. τὴν τȣ́των ἀρχὴν καλȣ̃σιν οἱ ἄραβες ταρὶχ διλκαλναΐμ, τȣ̓τέστιν ἐποχὴ τȣ̃ δικέρωτος· ᾧ δὴ ὀνόματι ἐκεῖνοι

ΕΥ. Σ... Κ.Ι.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν Ἀλέξανδρον ὑπαινίττοντο· δοθέντος δέ τινες ἔτυς τῆς ἐποχῆς ταύτης εὑρήσειεν ἄντις ῥᾳδίως τὸ σύνδρομον τέτω τῆς Ἰυλιανῆς περιόδυ ἔτος, προσθεὶς τῷ δοθέντι τὸν 4401 ἀριθμόν· οἷον τὸ ἀπὸ Ἀλεξάνδρυ χιλιοσὸν διακοσιοσὸν δεύτερον συμπίπτει τῷ πεντακισχιλιοσῷ ἑξακοσιοσῷ τρίτῳ τῆς Ἰυλιανῆς περιόδυ, ἀρχομένυ τῦ τισρὶν, ὅς ἐςὶ α΄. μὴν τῦ ἔτυς συναρχόμενος τῷ Ὀκτωβρίῳ, τῶν γὰρ τοιύτων ἐτῶν οἱ μῆνες συρικοί.

## Περὶ τῶν ἀπὸ Ἰουλίου Καίσαρος ἐτῶν, καὶ τῶν ἀπὸ τῆς ἐν Ἀκτίῳ νίκης.

Τὰ μὲν ἀπὸ Ἰυλίυ Καίσαρος ἔτη ἄρχονται ἐκ Καλενδῶν Ἰανυαρίυ τῦ τετρακισχιλιοσῦ ἑξακοσιοσῦ ἑξηκοσῦ ἐννάτυ ἔτυς τῆς Ἰυλιανῆς περιόδου· τῦ δὲ πρὸ τῆς Σωτηρίυ ἐποχῆς τεσσαρακοσῦ πέμπτυ, ἐκ τῦ τῆς Κονφυζιόνος χρόνυ, καθ᾽ ὃν ὁ Καῖσαρ διὰ Σωσιγένυς, ὡς εἴρηται, τὸ ἡλιακὸν ἔτος ἐπηνορθώσατο· κοινότερον μέντοι ἀρχὴ τύτων τὸ ἐφεξῆς ἔτος τῦ τῆς Κονφυζιόνος ἔτυς, ἐν ᾧ ἡλίου μὲν κύκλοι κα΄. σελήνης δὲ ιδ΄. ἰνδικτιῶν δὲ δ΄.

Τὰ δὲ ἀπὸ Αὐγύςυ Καίσαρος, ἃ καὶ ἀκτιακὰ καλεῖται, ἀπὸ τῦ Ἀκτίου τῆς ἠπείρυ, ἐν ᾧ Αὔγυςος Ἀντώνιον καὶ Κλεοπάτραν ἐτροπώσατο, τὴν ἐπωνυμίαν λαβόντα, ἄρχεται ἐκ τῆς κθ΄. τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Αὐγούστου μηνὸς τοῦ ἑπομένου τῆς μάχης ἔτους, ὅπερ ὑπάρχει σύνδρομον τῷ τετρακισχιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ τετάρτῳ ἔτει τῆς Ἰουλιανῆς περιόδου, τῷ δὲ πρὸ τῆς Σωτηρίου ἐποχῆς τριακοστῷ, ἐν ᾧ ἡλίου μὲν κύκλοι ή. σελήνης δὲ ί. ἰνδικτιὼν δὲ δ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Σχόλιον.

Περὶ κοινωνίας καὶ διαφορᾶς Ἰουλιανοῦ ἔτους καὶ ἀκτιακοῦ.

Κοινωνοῦσι μὲν τὰ ἔτη ταῦτα πρὸς ἄλληλα, καθ' ὅτι ἕκαστον τούτων διαιρεῖται εἰς κοινὸν καὶ ἐμβόλιμον· διαφέρει δὲ α'. τοῖς τῶν μηνῶν ὀνόμασι, καὶ τῇ ποσότητι τῶν κατ' αὐτοὺς ἡμερῶν· ἐν γὰρ τοῖς ἀκτιακοῖς ἔτεσιν οἱ μῆνες οἱ αὐτοί εἰσιν, οἵτινες καὶ τοῖς ἀπὸ Ναβονασάρου ἔτεσι· β'. ὅτι διάφορον ἔχουσι τὴν ἀρχὴν, τοῦ μὲν γὰρ Ἰουλιανοῦ ἀρχὴ ἡ α'. Ἰαννουαρίου, τοῦ δὲ ἀκτιακοῦ ἡ κθ'. Αὐγούστου· γ'. διενηνόχατον τῷ ἐμβολισμῷ, ὅτι ἐν μὲν τοῖς Ἰουλιανοῖς ἔτεσιν ἡ προστιθεμένη ἡμέρα παρεισάγεται μεταξὺ τῆς κγ'. καὶ κδ'. Φευρουαρίου, ἐν δὲ τοῖς ἀκτιακοῖς μεταξὺ τῆς κη'. καὶ κθ'. Αὐγούστου· οἱ γὰρ Αἰγύπτιοι ἅμα τῷ ὑποταγῆναι Ῥωμαίοις, καὶ τὸ ἀριθμεῖν κατ' ἐκείνους τὰ ἔτη ἐδέξαντο, ἐπεὶ δὲ τότε τῆς κατ' αὐτοὺς ἐποχῆς ἔτος ἦν ἑπτακοσιοστὸν εἰκοστὸν τέταρτον, τοῦ δὲ 724 ἀριθμοῦ ἐπὶ τὸν 4 διαιρουμένου, παράγεται πηλίκον ὁ 181 ἑκατὸν ὀγδοήκοντα καὶ μιᾶς ἡμέρας σημαντικὸς, εἰ ἔμελλον ἐκεῖνοι ἐξισῶσαι τὰ κατ' αὐτοὺς ἔτη

Ε.Θ.Α. της Κ.Θ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

τοῖς Ῥωμαικοῖς ἑκατὸν ὀγδοήκοντα καὶ μιᾷ ἡμέρᾳ ἐλλείποντες, ἐχρῆν ἀριθμῆσαι καὶ ταύτας μέχρι Ἰανουαρίου, καὶ τὰς ἀπὸ τῆς α΄. τοῦ αὐτοῦ μηνὸς ἄχρι τῆς κθ΄. Αὐγούστου, ἐξ ἧς ἡ ἀρχὴ τοῦ οἰκείου ἔτους ἤτοι ἡμέρας 241· τοσαῦται γάρ εἰσιν αἱ ἀπὸ τῆς α΄. μέχρι τῆς κθ΄. καὶ δὴ τοῦτο πεποιηκότες. Ἰσάριθμα ἔσχον τὰ ἔτη τοῖς Ῥωμαϊκοῖς, καὶ ἀρχόμενα ἀπὸ τῆς κθ΄. Αὐγούστου, πλὴν τῶν τοῖς ἐμβολίμοις κατ' αὐτοὺς προσεχῶς ἑπομένων· ταῦτα γὰρ διὰ τὴν προσθήκην καὶ ἑτέρας ἡμέρας παρὰ τὰς ἐπαγομένας, ἣν ἀπαιτεῖ ἡ τῶν βισέξτων ἀκολουθία ἐκ τῆς λ΄. Αὐγούστου τὴν ἀρχὴν λαμβάνει· ταύτην οὖν τὴν ἐμβόλιμον ἡμέραν συνηρίθμουν ταῖς πέντε ἐπαγομέναις, μεταξὺ τῆς κη΄. καὶ κθ΄. ὁμοίως ἐκείναις παρεισάγοντες, καὶ τοῦτον τὸν τρόπον ἐτελεῖτο κατ' αὐτοὺς ὁ ἐμβολισμὸς, προσθεὶς ἐν τοῖς ἐμβολίμοις ἔτεσι πρὸς ταῖς πέντε ἐπαγομέναις καὶ ἕκτην λέγω τὴν ἐμβόλιμον· τελευταῖον διαφέρει τὰ ἔτη ταῦτα, ὅτι οὐ τὰ αὐτὰ Ῥωμαίοις καὶ Αἰγυπτίοις εἰσὶν ἐμβόλιμα· ἀλλ' ἀεὶ τὸ πρὸ τοῦ Ῥωμαικοῦ βισέξτου ὑπάρχει παρ' ἐκείνοις ἐμβόλιμον, τὸ δὲ ἐφεξῆς τούτῳ ἔχει ἀρχόμενον τὸν Θὼθ ἐκ τῆς λ΄. Αὐγούστου· οἷον τὸ ἐνεστὸς ἔτος τρίτον ἐστὶ ἀπὸ βισέξτου, καὶ πρὸ βισέξτου· ἐν τούτῳ τοίνυν τῷ ἔτει ᾳψοε΄. εἴπερ εἰσέτι καὶ νῦν ἐν χρήσει ἦσαν τὰ ἀκτιακὰ ἔτη γινομένης τῆς προσθήκης μεταξὺ τῆς κη΄. καὶ κθ΄. Αὐγούστου, συνέβαινε τὸ ἀκτιακὸν ἄρχεσθαι ἐκ τῆς λ΄. Αὐγούστου· ῥᾳδίως δ' ἄν τις ἀνάγοι τὰ ἔτη ταῦτα εἰς τὰ ἀπὸ τῆς Σωτηρίου ἐπο-

χῆς, καὶ τοὔμπαλιν, τῇ ἀφαιρέσει καὶ προσθέσει τοῦ 45, ἢ 30 ἀριθμοῦ· οἷον δοθέντων τῶν ἀπὸ Ἰουλίου ἐτῶν ἀφελὼν τὸν 45, τεύξεται τῶν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἐτῶν· τούτων γὰρ ὁ λειπόμενος ἀριθμὸς ἐστὶ παραστατικός· δοθέντων δὲ τῶν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς προσθεὶς τὸν 45, εὑρήσει τὰ ἀπὸ Ἰουλίου· εἰδὲ τὰ ἀπὸ Αὐγούστου παραβάλλει τοῖς ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἀφελὼν, ἢ προσθεὶς τὸν 80, οὐκ ἀστοχήσει τοῦ ζητουμένου· τοῦτον τὸν τρόπον εὑρίσκεται τὸ μὲν ἀπὸ Αὐγούστου χιλιοστὸν ὀκτακοσιοστὸν ἕκτον, ἀπὸ τῆς Σωτηρίου ἐποχῆς χιλιοστὸν ἑπτακοσιοστὸν ἑβδομηκοστὸν ἕκτον, τὸ δὲ ἐνεστὸς, ἀπὸ Αὐγούστου ͵αωϛ΄.

## Περὶ τῶν ἀπὸ τοῦ μισοχρίστου Διοκλητιανοῦ ἐτῶν.

Τὰ ἀπὸ Διοκλητιανοῦ ἔτη ἄρχονται ἐκ τῆς κθ΄. Αὐγούστου τοῦ τετρακισχιλιοστοῦ ἐνναοσιοστοῦ ἐννενηκοστοῦ ἑβδόμου ἔτους τῆς Ἰουλιανῆς περιόδου· οἱ Αἰθίοπες ταῦτα καλοῦσιν ἔτη τῆς χάριτος, καὶ κατ᾽ αὐτὰ ἐκκλησιαστικῶς ἀριθμοῦσι τὰ ἔτη, οὐ μέντοι συνεχῶς, ἀλλὰ περιοδικῶς· τῶν γὰρ πεντακοσίων τριάκοντα δύο ἐτῶν πληρωθέντων, ταὐτὸ δ᾽ ἐστὶν εἰπεῖν τῆς κατὰ Βίκτωρα περιόδου, ἐξ ὑπαρχῆς ἄρχονται τῆς ἀπαριθμήσεως, ὥστε τὸ πεντακοσιοστὸν τριακοστὸν τρίτον λέγεσθαι πρῶτον· ὑφ᾽ ἑτέρων δὲ καλεῖται ἡ τούτων ἀρχὴ, Μαρτύρων ἐποχή.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

# Πρόβλημα.

**Τοῦ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτους δοθέντος τὸ ἀπὸ τῆς ἐποχῆς τῶν Μαρτύρων εὑρεῖν, καὶ τοὔμπαλιν.**

Δοθέντος τοῦ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτους ἀφαιρεθήτω ἐξ αὐτοῦ ὁ 283 ἀριθμὸς, ὁ δὲ ἐναπολειφθεὶς εἰμὲν ἐλάττων εἴη τοῦ 532, τοῦ ἀπὸ τῆς ἐποχῆς τῶν Μαρτύρων ἔτους ἔσαι δηλωτικὸς, εἰδὲ μείζων, διαιρεθήτω ἐπ᾽ αὐτὸν, καὶ τὸ μὲν πηλίκον τῶν περιόδων, ὁ δὲ λειπόμενος ἐπὶ τῆς διαιρέσεως ἀριθμὸς τοῦ ζητουμένου ἔτους ἔσονται δηλωτικά· οἷον ἀπὸ τοῦ ἐνεστῶτος ἔτους ἀφαιρεθήτω ὁ 283, καὶ ὁ λειπόμενος 1492, τῶν ἀπὸ τῆς ἐποχῆς τῶν Μαρτύρων ἔσαι σημαντικός· ἀλλ᾽ ἐπεὶ μείζων ἐςὶ τοῦ 532, διαιρεθήτω ἐπ᾽ αὐτὸν, καὶ ἐπεὶ παράγεται πηλίκον μὲν ὁ 2, λείπεται δὲ ὁ 428, δῆλον ὅτι τὸ ἐνεςὸς ἔτος ὑπάρχει τετρακοσιοςὸν εἰκοςὸν ὄγδοον ἀπὸ τῆς τῶν Μαρτύρων ἐποχῆς, τῆς τρίτης μέντοι περιόδου ἐκ τῆς κθ΄. τοῦ Αὐγούςου ἀρχόμενον.

Δοθέντος δὲ τοῦ ἀπὸ τῆς τῶν Μαρτύρων ἐποχῆς ἔτους, εἰμὲν τῆς α΄. περιόδου τύχῃ ὤν, συναφθήτω τούτῳ ὁ 283, εἰδὲ τῆς β΄. ἢ τῆς γ΄. προςεθήτω αὐτῷ ἔτι ἅπαξ, ἢ δὶς ὁ 532, καὶ ὁ συμποσούμενος ἀριθμὸς δηλώσει σοι τὰ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτη.

# Περὶ τῶν ἀπὸ τῆς Αἰγίρας ἐτῶν, εἴτουν τῶν ἀπὸ τῆς Φυγῆς τοῦ Μωάμεθ.

Ἡ ἐποχὴ, ᾗ κέχρηνται οἱ τὴν δεινὴν αἰχμαλωσίαν ἡμᾶς αἰχμαλωτίσαντες, καὶ ὁσημέραι τυραννικῶς καταπιέζοντες, σύνδρομος ἐςὶ τῇ ιϛ΄. τȣ̃ Ἰουλίȣ μηνὸς, τȣ̃ πεντακισχιλιοςȣ̃ τριακοσιοςȣ̃ τριακοςοῦ πέμπτου ἔτους τῆς Ἰουλιανῆς περιόδου, ἀπὸ δὲ τῆς Σωτηρίȣ ἐποχῆς ἑξακοσιοςȣ̃ εἰκοςȣ̃ δευτέρȣ, ἐν ᾧ ἡλίȣ μὲν κύκλοι ιε΄. σελήνης δὲ ιε΄. ἰνδικτιὼν δὲ ι΄. ἥτις τὴν γένεσιν ἴσχει ἐκ τῆς Φυγῆς, αἰγίρας ἀραβιςὶ λεγομένης τȣ̃ παρ᾽ αὐτοῖς προφήτȣ Μωάμεθ, ἐκ Μέκας εἰς Μεδίνην· καὶ γὰρ τὰ περὶ τὴν θρησκείαν νεωτερίσας, καὶ ἀσεβείας ἁλȣ̀ς, τῇ Φυγῇ ταύτῃ τὴν Σωτηρίαν ἐπρίατο· ἔνιοι τῶν ἀςρονόμων τῇ ιε΄. τȣ̃ Ἰȣλίȣ μηνὸς αὐτὴν προσοικειȣ̃σιν· ἀλλ᾽ ἡ κοινοτέρα δόξα τῶν ὀπαδῶν ἐκείνȣ σύνδρομον ποιεῖται τῇ ιϛ΄. ὡς εἴρηται.

# Περὶ τῶν ἀπὸ Ὑεζδεγέρδου ἐτῶν

Ἡ Ὑεζδεγερδικὴ, ἥτις καὶ Περσικὴ ἐποχὴ λέγεται, συμπίπτει τῇ ιϛ΄. τȣ̃ Ἰȣνίου μηνὸς τȣ̃ πεντακισχιλιοςȣ̃ τριακοσιοςȣ̃ τεσσαρακοςȣ̃ πέμπτȣ ἔτȣς τῆς Ἰȣλιανῆς περιόδȣ, καὶ ἑξακοσιοςȣ̃ τριακοςȣ̃ δευτέρȣ ἀπὸ τῆς Σωτηρίȣ ἐποχῆς· ἐν ᾧ κύκλοι ἡλίου μὲν κε΄. σελήνης δὲ ϛ΄. ἰνδικτιὼν δὲ ε΄. ἀπὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Κ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Υ'εζδεγέρδου ὑςάτου βασιλέως Περσῶν τὴν ἐπωνυμίαν λαβοῦσα, ἐν τῇ πρὸς Σαρακηνοὺς συμπλοκῇ πεσόντος.

## Πρόβλημα.

Τοῦ ἀπὸ Ὑεζδεγέρδου ἔτους δοθέντος τὸ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτος εὑρεῖν, οὗ διεξοδευομένου ἐκεῖνο ἤρξατο, πρὸς δὲ καὶ τὴν ἡμέραν ἐξ ἧς ἤρξατο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ἐπείπερ τὸ περσικὸν ἔτος ἐκ πέντε καὶ ἑξήκοντα πρὸς ταῖς τριακοσίαις συνίσαται ἡμερῶν, οὐ χαλεπὸν τὸ ζητούμενον εὑρεῖν κατὰ τὰ εἰρημένα ἐν τοῖς ἀπὸ Ναβονασάρου ἔτεσι· τουτέςι ἐν μὲν τοῖς μὴ ὑπερβεβηκόσι τὴν α΄. τοῦ Ἰαννουαρίου προσιθέντας τὸν 631 ἀριθμὸν, ὅςις παραςατικὸς ἐςὶ τῶν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἐτῶν παρῳχηκότων μέχρι τῆς Υ'εζδεργικῆς ἐποχῆς, ἐν δὲ τοῖς ὑπερβεβηκόσι ταύτην τὸν 630· τούτου γὰρ γενομένου, ὑποδείγματος χάριν, εὑρεθήσεται τῷ τετρακοσιοςῷ εἰκοςῷ Περσικῷ συμπίπτον τὸ χιλιοςὸν πεντηκοςὸν πρῶτον ἀπὸ τῆς Σωτηρίου ἐποχῆς, τὸ δὲ ὀκτακοσιοςὸν πεντηκοςὸν τῷ χιλιοςῷ τετρακοσιοςῷ ὀγδοηκοςῷ· ἐπεὶ γὰρ τὸ Περσικὸν ἔτος ἀναποδίζει καθ' ἑκάςην τετραετίαν ἡμέραν μίαν, καὶ ἀπὸ τῆς ις΄. Ἰουνίου, ὅθεν πρῶτον ἔλαβε τὴν ἀρχὴν ἄχρι τῆς α΄. Ἰαννουαρίου ἀριθμοῦνται ἡμέραι 167, συνάγεται ἐν διαςήματι ἐτῶν 668· τοσαῦτα γὰρ ἔτη παράγονται πολλαπλασιαζομένου τοῦ 167 ἐπὶ τὸν 4, μὴ ὑπερβῆναι

Ε.Υ. Δ. ... Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

τὸ ἔτος τὴν α΄. τοῦ Ἰαννουαρίου, μήτε μὴν μεταβῆναι εἰς τὸν Δεκέμβριον μῆνα· ἔνθεν τοι ἐλάττονος ὄντος τοῦ ἀριθμοῦ τῶν Περσικῶν ἐτῶν τοῦ 668 ἀριθμοῦ, προσίθεται τούτοις ὁ 631, μείζονος δὲ ὑπάρχοντος, ὁ 630· εἰς εὕρεσιν δὲ τῆς ἡμέρας χρηστέον τῇ διαιρέσει τοῦ ἀριθμοῦ τῶν ἐτῶν ἐπὶ τὸν 4, καὶ τῇ ἀφαιρέσει τοῦ πηλίκου ἀπὸ τοῦ ἀριθμοῦ τῶν ἡμερῶν δηλονότι ἢ τοῦ 167, ἢ τοῦ 532, ἡνίκα τὸ πηλίκον ὑπάρχει μεῖζον τοῦ 167· τότε γὰρ προσίθεται τῷ 167 ὁ 365, αἱ ἑνὸς ἔτους δηλ. ἡμέραι, καὶ γίνεται ὁ 532· οἷον δοθέντος τοῦ τετρακοσιοστοῦ εἰκοστοῦ διαιρεθήτω ὁ 420 ἐπὶ τὸν 4, τὸ δὲ πηλίκον ὁ 105 ἀφαιρεθήτω ἀπὸ τοῦ 167, καὶ ὁ ἐναπολειφθεὶς ἀριθμὸς 62 ἐνδείξεταί σοι τὴν β΄. Μαρτίου· ἀπὸ γὰρ τῆς α΄. Ἰαννουαρίου ἄχρι τῆς β΄. Μαρτίου ἑξήκοντα δύο ἡμέραι ἀριθμοῦνται ὄντος τοῦ ἔτους βισέξτου.

Παρὰ τὰς ἐκτεθείσας ἐποχάς, εἰσὶ μὲν καὶ ἄλλαι, οἷον ἡ τῶν Ἀντιοχέων, ἡ τῶν Τυρίων, ἡ τῶν Λαοδικέων, καὶ ἄλλων· ἐπεὶ δὲ οὐδεμία χρῆσις τούτων, ἢ πάνυ βραχεῖα περὶ αὐτῶν γίνεται μνήμη, ἐν ταῖς τῶν ἀρχαίων Ἱστορίαις· ἡμῖν δὲ ἡ πρόθεσις ἦν περὶ τῶν ἀξιολογωτέρων εἰπεῖν, καὶ οἷς ἐκεῖνοι κέχρηνται ἐν τοῖς σφῶν αὐτῶν συγγράμμασιν, Ἱκανὰ καὶ τὰ μέχρι τοῦδε περὶ αὐτῶν εἰρημένα.

Μόνῳ δὲ σοφῷ Θεῷ κράτος, αἶνος,
δόξα εἰς αἰῶνας
Ἀμήν.

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΣΩΣΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Παροράματα.

Σελ. 37. 48· Γρ. 46. σελ. 44. 15. Γρ. $\frac{15}{\eta}$ σελ. 48. τούτων. Γρ. τούτου. σελ. 49. αα. Γρ. α+α. σελ. 51, $\alpha\beta\gamma^2\delta$. Γρ. $2\alpha\beta\gamma^2\delta$. σελ. 76. β. Γρ. —β. σελ. 78. $\alpha^2 x^2$. Γρ. $\alpha^2 - x^2$. σελ. 83. $\frac{2\vartheta}{\sigma_x}$. Γρ. $\frac{2\gamma}{\sigma\delta}$. σελ. 94. ζδ. Γρ. ζη. σελ. 101. $\frac{2\eta}{3\beta}$. Γρ. $\frac{2\eta}{3\vartheta}$. σελ. 108. (·16''''': 4''' Γρ. (16''''.4''.4'''. σελ. 117. 032. Γρ. 0,32. αὐτ. 05. Γρ. 0,5. σελ. 127. γε. Γρ. γ—ε. σελ. 138. $\frac{8}{\alpha} - \frac{8}{22}$. Γρ. $\frac{8\alpha - 8}{22}$. σελ. 164. παιδίον ἕν. Γρ. παιδία τέσσαρα.

σελ. 199. $\chi^2$. Γρ. $2\chi^2$. αὐτ. $\frac{\beta\alpha^2}{2}$. Γρ. $\frac{\beta - \alpha^2}{2}$. σελ. 201. 65 Γρ. 165. σελ. 202. (3041/4.) Γρ. (2 4/4 0 1.) σελ. 235. ἐκεῖσθεν. Γρ. ἐκεῖθεν. σελ. 244. ἄτοίνυν τοπον. Γρ. τοίνυν ἄτοπον. σελ. 252. του. Γρ. τοῦ. σελ. 272. ἡμέρα. Γρ. ἡμέρα. σελ. 289. Εὐσοβίῳ. Γρ. Εὐσεβίῳ. ᾗ 255. των. Γρ. τῶν. 297. ἰούλιου. Γρ. ἰουλίου. σελ. 300. τούτω. Γρ. τούτῳ καὶ 303. δόζαν. Γρ. δόξαν. σελ. 306. τῶν ᾿τῶν. Γρ. τῶν ἐτῶν. σελ. 322. ᾿πακταί. Γρ. ἐπακταί. σελ. 323. τοῦ ταῖς XXIV. Γρ. τοῦ XXIV. σελ. 327. τινὸς. Γρ. τινός. αὐτ. ἐννεακαεδεκαετρίδος. Γρ. ἐννεακαιδεκαετηρίδος. σελ. 328. αὐτὴν. Γρ. αὐτήν. ᾗ 329. πρόκειται. Γρ. πρόσκειται. ᾗ 350. εἰς. Γρ. εἷς.

„Εἰς τὸ, Ὄλβιε Πυθαγόρη. Σελ. 145.

$\chi = \frac{\chi}{2} + \frac{\chi}{4} + \frac{\chi}{7} + 3$ ὅ ἐστιν ἴσον α.

ἀκεραιώσει

$56\chi = 28\chi + 14\chi + 8\chi + 168 = 56\alpha$

συνάψει

$56\chi = 50\chi + 168 = 56\alpha.$

ἀφαιρέσει

$56\chi - 50\chi = 168 = 56\alpha$

ἤτοι

$6\chi = 168 = 56\alpha$

ἄρα

$\chi = \frac{168}{6} = 28$, ἢ $\frac{56\alpha}{6} = 9\alpha + \frac{2}{6} = \frac{1}{3}$. ᾗ οὗτος ἐστὶ ὁ ζητούμενος.

$6\left\{\begin{array}{l} 56\alpha \\ 2 \\ 9\alpha + \frac{2}{6} = \frac{1}{3}\alpha \end{array}\right.$

$\frac{3}{27}$ $\frac{1}{3}$. $\frac{3}{1} = \frac{3}{3} = 1$

$\frac{1}{28}$

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006